μὴ δύνασθαι διὰ τὸ ὀργίζεσθαι.« γαστρός τε οὕτω κρείττων γενέσθαι μαρτυρεῖται, ὡς μὴ μόνον τρυφὴν πᾶσαν καὶ πλησμονὴν καὶ ἀδηφαγίαν [V 169v] καταπτύσαι καὶ τὸ δὶς τῆς ἡμέρας, ᾗ φησιν αὐτὸς περὶ Συρακουσίων, ἐμπιμπλᾶσθαι, ἀλλὰ καὶ τοσοῦτον μόλις τροφῆς ἅπτεσθαι, ὅσον ἀποζῆν. ἐλάαις ταῖς ἐν Ἀκαδημίᾳ γινομέναις καὶ ἄρτῳ λιτῷ καὶ ποτῷ θεῷ νήφοντι χρῆσθαι. οἷς ἑπόμενον ἦν καὶ ὕπνου ὡς μετριωτάτου αὐτόν τε μεταλαγχάνειν καὶ [U 106v] ὅσον χρήσιμον πρὸς ὑγίειαν. τοῖς τε ἄλλοις παραινεῖν ἐν τῷ τῶν Νόμων ἑβδόμῳ νύκτωρ ἐγειρομένους τά τε πολιτικὰ τά τε ἴδια πράττειν. τὸν γὰρ πολὺν ὕπνον μήτε τοῖς σώμασι μήτε ταῖς ψυχαῖς ἁρμόττοντα κατὰ φύσιν εἶναι. »οὐδένα τε καθεύδοντα οὐδενὸς ἄξιον εἶναι, οὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος«. ἀλλὰ τὸν τοῦ ζῆν ἅμα καὶ τοῦ φρονεῖν κηδόμενον καὶ ἐγρηγορέναι δεῖν »χρόνον ὡς πλεῖστον, τὸ πρὸς ὑγίειαν αὐτῷ μόνον φυλάττοντα χρήσιμον«. ταῦτα αὐτῷ πάντες Ἕλληνες, ταῦτα Λατῖνοι ξύμπαντες μαρτυροῦσιν, ἃ μήκιστον ἂν τὸν λόγον ποιήσειεν, εἴ τις πάντα βούλοιτο λέγειν. εὑρήσετε ταῦτα, ἄνδρες Λατῖνοι, ἐν πολλοῖς τῶν τοῦ ὑμετέρου Κικέρωνος, [B 74] ἀνδρὸς σοφωτάτου, τῶν Μακροβίου, τῶν Γελλίου, τῶν Ἀπουληίου, τῶν Κιντιλιανοῦ. ἀνάγνωτε Σένεκαν, ἄνδρα φιλοσοφώτατον, ἄνδρα σπουδαιότατον, ἠθικώτατον, πάσῃ κεκοσμημένον ἀρετῇ. εὑρήσετε ὅσα ἐν ταῖς πρὸς Λουκῖνον Ἐπιστολαῖς, ὅσα ἐν τῷ περὶ Ὀργῆς, ὅσα ἐν τοῖς ἄλλοις αὐτοῦ μεμνημένος σποράδην τοῦ Πλάτωνος ἐπαινεῖ αὐτὸν καὶ θαυμάζει καὶ ὡς παραδείγματί τε καὶ ἀρχετύπῳ τῶν ἀρετῶν Πλάτωνι χρῆται. εἰ δὲ καὶ Αὐγουστῖνον καὶ Ἱερώνυμον, τοὺς οὐ σοφίᾳ μόνον, ἀλλὰ καὶ ἁγιωσύνῃ προέχοντας, ταὐτὰ ταῦτα περὶ Πλάτωνος εἰπόντας ἔστιν ἰδεῖν, τί τίς ἂν ἔτι περὶ τοῦ Πλάτωνος σώφρονος βίου καὶ τῆς σεμνῆς αὐτοῦ ἀμφισβητήσειε πολιτείας; ἀλλ' ὁ μὲν Πλάτων τοιοῦτος μὲν ἐξ ὧν εἴρηκε, τοιοῦτος δ' ἐξ ὧν ἐβίου, φαίνεταί τε καὶ ἐστίν. ἠμφισβήτησε δ' ὅλως οὐδεὶς πλὴν [U 107] τουτουὶ τοῦ συκοφάντος. ἡμῖν τε ταῦτα ἀρκείτω πρὸς τὴν καθ' αὑτὸ δεῖξιν τῆς τοῦ ἀνδρὸς περὶ πάντα ὑπεροχῆς.

## Κεφ. β' Περὶ ἔρωτος καὶ τῆς διαφορᾶς αὐτοῦ.

**2,1** Καιρὸς δὲ λοιπὸν πρὸς τὰ κατὰ μέρος ἐγκλήματα τοῦ κατηγόρου [V 170] τραπέσθαι καὶ τὰ εἰκότα πρὸς ταῦτα ἀπολογίσασθαι. ἐπεὶ οὖν ἔρωτα καὶ παιδεραστείαν αὐτῷ ἄνω καὶ κάτω ἐγκαλεῖ καὶ τὴν μυσαρὰν ταύτην καὶ αἰσχίστην ἡδονὴν αὐτῷ προφέρει, ὡς δὴ τὸν αἴσχιστον ἔρωτα ἐρῶντι καὶ τῇ βδελυρίᾳ ταύτῃ ἐνεχομένῳ, ὥσπερ ἂν εἰ μὴ καὶ ἐρᾶν — καὶ σεμνῶς ἔστιν ἐρᾶν — ἐξείη, περὶ αὐτοῦ τοῦ ἔρωτος πρότερόν τινα εἰπεῖν ἀναγκαῖον. ὡς

2 τρυφὴν U V τροφὴν B M | 16 Γελλίου B V Ἀγελλίου U | Ἀπουληίου] Ἀπουλείου *codd.* | 27 συκοφάντος B V M καθάρματος U

10 cf. Plat. Legg. VII. 808 b.

28 Cic. Tusc. Disp. I. 32.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ex eius servis graviter errasset, ad Xenocratem, qui tunc forte aderat, conversus: »Verberato tu, inquit, puerum, ne ego per iram concitatius id agam«. Continentiam autem cibi et potus tantam in eo fuisse tradunt, ut non solum delicatiores epulas et opipara convivia spreverit et bis tantum in die cibum sumere consueverit, sed tantum dumtaxat per omnem vitam sumpserit, quantum satis esset ad vitae necessitatem. Olivis tantum Academicis et vili pane atque aqua contentum fuisse accepimus. Quem victum quantum somni sequi verisimile est, tantum dormire solitum, scilicet non plus, quam quod satis esset ad evitandam ex nimia vigilia malam valetudinem. Ceteros etiam, quod ex primo libro de Legibus constat, solebat admonere, ut nocte surgerent ad res tum publicas tum privatas obeundas. Somnum enim immodicum et corpori et animo obesse dicebat, parumque inter mortuum et dormientem interesse. Itaque ut quisque vivere et sentire cuperet, sic vigilare oportere, quantum salva corporis valetudine id fieri posset. Haec omnes tam Graeci quam Latini de Platone perhibent et latissime referunt, quamquam ego, ut institui, breviter ea percurro, ne in rebus notissimis longior sim. Quis enim vestrum, viri Latini, non legit laudes de vita ac moribus Platonis apud M. Tullium, apud Quintilianum, apud A. Gellium, Apuleium, Macrobium reliquosque linguae Latinae auctores, quos enumerare longissimum esset? Quot et quanta vir sapientia et morum integritate insignis L. Anneus Seneca de Platone honestissime refert in Epistulis ad Lucilium, in libro de Ira, de Beneficiis reliquisque operibus? Quam mores illius admiratur et pro exemplari quodam virtutis pulcherrimo constituit? Quantam splendor et decus Romanae linguae M. Tullius Platoni laudem tribuit? Omnes profecto, quocumque te verteris, illius virtutem admirantur, etiamsi qui opinione ab eo dissentiunt. Quod etiam ab ipso, quem modo nominavi, M. Tullio aperte explicatur in libro, quem Tusculanas Quaestiones inscribit. »Credamus igitur, inquit, Panaetio a Platone suo dissentiente, quem omnibus locis divinum, quem sapientissimum, quem sanctissimum, quem Homerum philosophorum appellat.« At si Augustinus et Hieronymus non modo scientia praeclari, sed etiam vita et moribus tales sunt, ut in religione nostra pro sanctissimis venerentur, et Platonem quidem testantur optime integerrimeque vixisse, quis hoc non satis testimonii esse existimet et hunc virum iure optimo arbitretur omni virtutis genere ornatissimum fuisse? Ita Plato non modo suis operibus, sed optimorum etiam virorum testimonio sine ulla culpa, sine reprehensione, sanctissime innocentissimeque vixisse demonstratur, nec est, qui rem hanc in controversiam unquam traxerit praeter adversarium.

## Cap. II. De amore et eius differentia.

Nunc eius argumenta aggredior, et quoniam nefandi amoris crimen 2,1
imprimis Platoni obiicit — quibus id rationibus ostendere conetur, post videbimus —, nunc de amore aliquid disseramus. Equidem non is sum, qui

E.Υ.Δ.Τ.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μὲν οὖν Ἑλλήνων τε καὶ βαρβάρων οὐκ ὀλίγοι ἀκρατῶς εἶχον περὶ τοῦτο
τὸ μέρος καὶ ἔνοχοι τούτου τοῦ μιάσματος ἦσαν, οὐ ψυχῆς, ἀλλὰ σωμάτων
τῶν ἀρρένων ὥσπερ οἱ ὀπώρας πεινῶντες, ᾗ φησι Πλάτων, ἐρῶντες, οὐκ
ἔστιν ἀρνεῖσθαι, Παύλου τε τοῦ θείου ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ
τοῦτό γε αὐτοῖς ἐπιτιμῶντος καὶ αὐτοῦ Πλάτωνος ταῦτα λέγοντος. ὅτι δὲ
καθ' αὑτὸν ὁ ἔρως οὐ φαῦλον οὐδὲ αἰσχρόν, ἀλλὰ τῶν μέσην ἐχόντων ἐστὶ
δύναμιν, καὶ ᾧ ἄν τις ἐπὶ καλῷ καὶ κακῷ χρῷτο, ὥσπερ καὶ τῶν ἄλλων
οὐκ ὀλίγα τὸν ἀνθρώπινον βίον κοσμούντων, καὶ ὡς ὁ μέν ἐστιν αἴσχιστος,
ὁ δὲ θειότατος, δῆλον μὲν καὶ ἐξ ὧν Ἕλληνες περὶ τούτου φασί, μάλιστα
δὲ πάντων τῇ θείᾳ γραφῇ πιστευτέον. Ἕλληνες μὲν γὰρ διπλοῦν θεὸν τὸν
B 74v ἔρωτα εἶναί φασιν, οὐ κατὰ μίαν ὁδὸν φοιτῶντα οὐδὲ ἑνὶ πνεύματι τὰς
ἡμετέρας ψυχὰς ἐρεθίζοντα, ἀλλὰ τὸν μὲν οἷα κομιδῇ νήπια φρονοῦντα
οὐδενὸς αὐτοῦ τὴν διάνοιαν ἡνιοχεῖν δυναμένου λογισμοῦ πολὺν ἐν ταῖς τῶν
U 107v ἀφρόνων ψυχαῖς ἀθροίζεσθαι, ἐφημέρου ὕβρεως ὄντα ἑταῖρον καὶ ἀκρίτῳ
φορᾷ πρὸς τὸν βουλόμενον ἄττοντα, τὸν δὲ σεμνὸν ὀφθῆναι καὶ πάντοθεν
ἱεροπρεπὲς θέαμα, σωφρονούντων ταμίαν παθῶν, ἤπια ταῖς ἑκάστου δια-
νοίαις ἐμπνέοντα καὶ ἀρετὴν ἀσπαζόμενον. διττὰ γὰρ κατὰ τὸν τραγικὸν
πνεύματα τὸν ἔρωτα πνεῖν. ἑνὸς δὲ ὀνόματος οὐχ ὁμοίας εἶναι τὰς πράξεις,
ὥσπερ οὐδ' αἰδοῦς οὐδὲ ἔριδος. ἥ τε γὰρ αἰδὼς ἄνδρας »μέγα σίνεται
ἠδ' ὀνίνησιν«, ἐρίδων τε γένος οὐκ ἔστιν ἕν.

»ἀλλ' ἐπὶ γαῖαν
V 170v εἰσὶ δύω. τὴν μέν κεν ἐπαινέσσειε νοήσας,
ἡ δ' ἐπιμωμητή. διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.«

οὐδὲν οὖν παράδοξον, εἰ πάθος ἀρετῇ κοινὴν προσηγορίαν ἔχον ἔτυχεν, ὥστε
ἔρωτα καλεῖσθαι καὶ τὴν ἀκόλαστον ἡδονὴν καὶ τὴν σωφρονοῦσαν εὔνοιαν. ὁ
μὲν γὰρ οὐράνιος καὶ θεῖος, ὁ δὲ πάνδημος καὶ νεώτερός ἐστί τε καὶ λέγεται.

2 Ἡ δὲ θεία γραφὴ πολλὰ περὶ τοῦ οὐρανίου παραδίδωσιν ἔρωτος.
ἀναμνησθῶμεν ὅσα καὶ οἷα Σαλωμὼν περὶ ἔρωτος θείου ἐν ὅλῳ τῷ περὶ
Ἀισμάτων βιβλίῳ φησίν, ὅσα καὶ οἷα τότε μὲν τὸν νυμφίον πρὸς τὴν νύμφην,
τότε δὲ τὸ ἀνάπαλιν εἰσάγει λέγοντα, καὶ ὡς ἀπεμφαίνοντά τισιν ἂν δόξειεν,
εἰ μὴ τῇ τε πρὸς τὸ θεῖον εὐλαβείᾳ καὶ ἀκρεφνεῖ πίστει καὶ ἔτι βίου
ἰδίου καθαρότητι ὠχυρωμένοι τῶν τοιούτων ἀκούοιεν. »τί, φησὶν ὁ νυμ-
φίος, ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος, τράχηλός σου ὡς ὁρμίσκοι;«
καὶ αὖ ἡ νύμφη· »τετρωμένη ἀγάπης ἐγώ. εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφα-
U 108 λήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.« καί· »ἡ φωνή σου ἡδεῖα, καὶ
ἡ ὄψις σου ὡραία«. καὶ πάλιν· »ἐπὶ τὴν κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν
ἠγάπησεν ἡ ψυχή μου. ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν.« καὶ αὖ· »ἰδού, εἶ
καλὴ πλησίον μου. ἰδοὺ εἶ καλή. ὀφθαλμοί σου περιστεραὶ ἐκτὸς τῆς σιω-
πήσεώς σου. τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν.« »ὀδόντες σου ὡς ἀγέλαι

28 Σαλωμὼν] Σολομὼν *codd.* | 33 τρυγόνος *codd.*] τρυγόνες *Swete* | 35 περιλήψεται *codd.*] περιλήμψεται *Swete*

4 Rom. 1, 27. | 19 Hom. Ilias Ω 45. | 21 Hesiod. Op. et Di. 11—13. | 32 Cant. 1, 10. | 34 Cant. 2, 5 sq | 35 Cant. 2, 14. | 36 Cant. 3, 1. | 37 Cant. 4, 1–7.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

neminem unquam incidisse in amores illicitos ac per libidinem scelus commisisse existimem. Neque enim negari potest plures ex omni natione exstitisse natura perversa et depravatis moribus, qui non animos, sed corpora marium amant instar eorum, qui, ut Plato inquit, fructus appetunt. Quippe et apostolus Paulus in epistula, quam ad Romanos scribit, eos nefandi amoris arguit et Plato non sine causa id ipsum et reprehendit et lege vetat. Sed illud animadvertendum est non omnem amorem vitiosum esse ac turpem, sed quem ad modum pleraque alia communi nomine appellata diversam habere rationem et partim honestum, partim turpem constitui, quod non modo ex iis, quae gentiles auctores scripsere, sed etiam ex sacris nostrae religionis litteris ostendi potest. Gentiles enim amorem sive cupidinem, si cui ita vocare magis placet, quamquam non apte hoc omnibus locis dici potest, duplicem esse voluerunt nec eadem via eodemve afflatu animos hominum incendere, sed alterum ut nimis pueriliter sentientem nulla ratione regi ac insipientium solummodo animis insidere, libidinis atque luxuriae comitem, impudentem, scelestum, ad id, quod male appetit, temere ruentem, alterum honestum, modestum, verecundum, constantem, sanctum, beatum, castitatis continentiaeque custodem, benigne animis afflantem et amantem observantemque virtutis. Itaque cum unum amoris sit nomen, non easdem ex utroque prodire actiones, quem ad modum pudoris quoque et contentionis eodem permanente nomine diversae actiones sunt. »Nempe homini cultus profuit nocuitque pudoris«, ut Hesiodus inquit. Contentionis item genus non simplex, sed duplex est. Ut enim idem poëta inquit:

»Haec perversa nimis digna est, laudarier illa.
Adversosque animos longe propellere tendunt.«

Quid igitur mirum, si benevolentia honesta et sancta idem nomen habet cum turpi foedoque affectu?

Honestum hoc genus amoris, quem Plato caelestem etiam ac divinum appellat, in litteris quoque sacris celebrari videmus, quem ad modum Salomon specie quadam elegiae Sacra Cantica modulatus est, quae nisi quisque pro sua et scribentis virtute iudicet, male de viro illo divino sentiat, necesse est. Profecto ita natura comparatum est, ut, qui castitate ac moderatione animi praestat, quaecumque huiusmodi verba in meliorem partem accipiat. Qui vero propriis sceleribus coinquinatus est, omnia perperam interpretatur et pro suis moribus et sentit et iudicat. Sed quid sponsus ille apud Salomonem loquatur, attende. »Quam pulchra es amica mea, quam pulchra es et decora. Oculi tui columbarum. Capilli sicut gregis caprarum, quae descenderunt de monte Galat. Dentes sicut greges tonsae, quae ascenderint de lavacro. Labia tua, ut vitta coccinea et eloquium tuum melle dulcius. Sicut fragmen mali Punici ita genae tuae, et sicut turris David collum tuum, quae aedificata

---

18 nec *correxi* ne *codd. et edit.*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῶν κεκαρμένων«. »ὡς σπαρτίον κόκκινον χείλη σου. καὶ ἡ λαλιά σου
B 75 ὡραία«. »ὡς πύργος Δαυὶδ τράχηλός σου«. »δύο μαστοί σου ὡς δύο νεβροί,
δίδυμοι δορκάδος«. »ὅλη καλὴ εἶ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν
σοί.« καὶ ἵνα μὴ πολλὰ λέγων μηκύνω, πᾶσα αὐτοῦ ἡ βίβλος πλήρης ἐστὶ
τῶν τοιούτων ἐρωτικῶν λόγων καὶ πάνυ τοι τοῖς μὴ σφόδρα εὐλαβῶς ἀκού-
ουσιν ἀπεμφαινόντων ῥημάτων.

3 Ἀκούσωμεν καὶ τοῦ θείου Διονυσίου τοῦ Ἀρεοπαγίτου, οἷα ἐν τῷ
τετάρτῳ τοῦ περὶ Θείων Ὀνομάτων κεφαλαίῳ περὶ τοῦ ἐνθέου φιλοσοφεῖ
ἔρωτος, μᾶλλον δὲ πρὸ αὐτοῦ Ἱεροθέου τοῦ ἱερωτάτου, τοῦ γενομένου καθη-
γεμόνος Διονυσίῳ, οὗ ταῖς μαρτυρίαις ἐκ τῶν ἐρωτικῶν αὐτοῦ ὕμνων Διο-
V 171 νύσιος χρῆται· »τὸν ἔρωτα, λέγοντος, εἴτε θεῖον εἴτε ἀγγελικὸν εἴτε νοερὸν
εἴτε ψυχικὸν εἴτε φυσικὸν εἴποιμεν, ἑνωτικήν τινα καὶ συγκρατικὴν ἐννοή-
σωμεν δύναμιν«, καὶ αὖ τοὺς πολλοὺς ἔρωτας ἐξ ἑνὸς προϊέναι καὶ εἰς τὸ
ἓν ἐπεστράφθαι διδάσκοντος, καὶ τὸν μὲν θεὸν »ὁλικὸν ἔρωτα,« τοὺς δὲ
U 108ᵛ λοιποὺς μερικοὺς εἶναι, ἐξ ἐκείνου τε προϊόντας καὶ εἰς αὐτὸν ὡς »εἰς ἕνα
καὶ συνεπτυγμένον ἔρωτα καὶ πάντων πατέρα« συνελιττομένους. Διονύσιος
δὲ καὶ αὐτὸς τῷ καθηγητῇ ἑπόμενος· »πᾶσίν ἐστι, φησί, τὸ καλὸν καὶ ἀγα-
θόν, ἐφετὸν καὶ ἐραστὸν καὶ ἀγαπητὸν καὶ δι' αὐτὸ καὶ αὐτοῦ ἕνεκα. καὶ
τὰ ἥττω τῶν κρειττόνων ἐπιστρεπτικῶς ἐρῶσι, καὶ κοινωνικῶς τὰ ὁμό-
στοιχα τῶν ὁμοταγῶν, καὶ τὰ κρείττονα τῶν ἡττόνων προνοητικῶς, καὶ
αὐτὰ ἑαυτῶν ἕκαστα συνεκτικῶς. καὶ πάντα τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφιέ-
μενα ποιεῖ καὶ βούλεται πάντα, ὅσα ποιεῖ καὶ βούλεται. παρρησιάσεται
δὲ καὶ τοῦτο εἰπεῖν ὁ ἀληθὴς λόγος, ὅτι καὶ αὐτὸς ὁ πάντων αἴτιος δι'
ἀγαθότητος ὑπερβολὴν πάντων ἐρᾷ, πάντα ποιεῖ, πάντα τελειοῖ, πάντα
συνέχει, πάντα ἐπιστρέφει, καὶ ἔστιν ὁ θεῖος ἔρως ἀγαθὸς ἀγαθοῦ διὰ τὸ
ἀγαθόν. αὐτὸς γὰρ ὁ ἀγαθοεργὸς τῶν ὄντων ἔρως ἐν τἀγαθῷ καθ' ὑπερ-
βολὴν προϋπάρχων οὐκ εἴασεν αὐτὸν ἄγονον ἐν ἑαυτῷ μένειν, ἐκίνησε δὲ
αὐτὸν εἰς τὸ πρακτικεύεσθαι κατὰ τὴν ἁπάντων γεννητικὴν ὑπερβολήν.« ἐπεὶ
δὲ τὸ ὄνομα τοῦ ἔρωτος ἐπὶ διαβολῇ ὡς ἐπὶ τὸ πλεῖστον λαμβάνεται καὶ
οὐκ εὐπαράδεκτον ταῖς σώφροσίν ἐστιν ἀκοαῖς, ἐπίστησον ὅσα περὶ τούτου
φησὶν ὁ διδάσκαλος. »μήτις γὰρ οἰέσθω ἡμᾶς, φησί, παρὰ τὰ λόγια τὴν
τοῦ ἔρωτος ἐπωνυμίαν πρεσβεύειν.« σκαιόν τε γὰρ καὶ ἄλογόν φησιν εἶναι
B 75ᵛ »τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι.« καὶ ἕτερα
U 109 πλεῖστα περὶ τούτου φησί, μὴ φεύγειν διδάσκων μηδὲ τὰ ἀπεμφαίνοντα
ὀνόματα, ἂν ἡ τῶν λεγομένων δύναμις ὑγιαίνῃ, ἀναγκαίου ὄντος συλλαβαῖς
V 171ᵛ καὶ λέξεσι καὶ γραφαῖς διὰ τὰς αἰσθήσεις ἡμᾶς χρῆσθαι. ἃ ὁ βουλόμενος
πλατύτερον γνῶναι ἐκ τοῦ βιβλίου ἀναλεγέσθω. καὶ πρὸς τούτοις οὐδ'
ἀσύνηθες εἶναι τῇ θείᾳ γραφῇ τοὔνομα τοῦτο διδάσκει. »ἵνα, γάρ φησι, μὴ

3 δορκάδος *correxi sec. Swete* δορκάδες *codd.* | 24/25 πάντα — ἐπιστρέφει Uˣ *in marg.* B V M Z *in textu*

11 Dionys. Areop. De Div. Nom. IV. 15 *(Migne P. gr. 3, 713 A—C.)* | 17 Dionys. Areop. De Div. Nom. IV. 10 *(Migne P. gr. 3, 708 A B).* | 31 Dionys. Areop. De Div. Nom. IV. 11 *(Migne P. gr. 3, 708 B).* | 38 Dionys. Areop. De Div. Nom. IV. 11; 12 *(Migne P. gr. 3, 709 A—D).*

Ε.Υ.Δ. τ.ς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

est cum propugnaculis. Ubera tua sicut duo hinnuli capreae gemelli, qui pascuntur in liliis. Tota pulchra es amica mea, et macula nulla in te est. Veni de Libano sponsa mea, veni de Libano. Vulnerasti cor meum, soror mea, sponsa mea. Vulnerasti cor meum oculis tuis et crine colli tui. Quid sponsa? Dilectus meus candidus et rubicundus, electus ex milibus. Caput eius aurum optimum. Comae eius sicut elatae palmarum, nigrae quasi corvus. Oculi eius sicut columbae. Genae sicut areolae aromatum consitae a pigmentariis. Labia distillant myrrham primam. Manus tornatiles aureae plenae hyacinthis. Venter eburneus distinctus sapphyris. Crura columnae marmoreae fundatae super bases aureas. Species eius ut Libani. Lectus ut cedri. Guttur suavissimum et totus desiderandus. Talis est dilectus meus.« Et plura alia ad hunc modum amatoria verba, quae si quis pervertat et male intellegat, non minus Cantica Salomonis quam Platonem libidinis venereae arguere poterit.

Dionysius vero Areopagita, vir sanctissimus, quid quarto de Divinis 3 nominibus, capite de amore locutus fuerit videamus, vel potius quid ante eum Hierotheus dixerit, vir sanctimonia vitae praeclarus, qui Dionysii praeceptor fuit, cuius sententias ex amatoriis hymnis ipse Dionysius accipit: »Amorem, inquit, sive divinum sive angelicum sive intellectualem sive animalem sive naturalem dixerimus, vim quandam vivendi continendique intellegere debemus.« Item plures et varios amores de uno ait prodire, deumque ipsum esse auctorem generalem, ceteros singulares, qui ex illo proficiscantur et ad eundem unum et complicatum amorem redeant et coniungantur. Hunc praeceptorem suum Dionysius secutus: »Omnia, inquit, summum bonum, honestum et pulchrum petunt, affectant, diligunt tum propter ipsum, tum ipsius gratia. Et superiora a suis inferioribus amantur per conversionis respectum, inferiora a suis superioribus per providentiam, paria a suis paribus per communicationem, quaeque se ipsa amant per conservationem. Denique omnia per appetitum boni, honesti et pulchri et volunt et agunt, quaecumque volunt et agunt. Ausim dicere vere enim ipsum etiam rerum omnium auctorem et principem propter suae bonitatis exsuperantiam quaeque amare, quaeque agere, perficere, servare, quaeque ad se convertere. Estque amor divinus bonus boni propter bonum. Ipse enim amor, omnium rerum auctor et effector, praecipue supraque modum praeexsistens in summo bono noluit se infecundum in eodem manere, sed movit ad agendum per exsuperantiam omnium rerum genetivam.« Sed quoniam amoris nomen magna ex parte minus honeste accipi solet, quam modestae aures pati posse videantur, quid ea causa idem doctor dixerit, animadvertendum. »Nemo nos, inquit, existimet praeter usum litterarum sacrarum amoris nomen probare, quasi dicat rudem sive improbum esse. Qui non sermonis sensum considerat, sed verba rimatur et speciem sequitur, quam illa praetendunt.« Plura quoque similia de eadem re scribit docens ne alienam quidem verborum speciem aspernandam esse, dum vis et sen-

ΙΩΑΝΝΙΝΑ 2006

ταῦτα εἰπεῖν δοκῶμεν ὡς τὰ θεῖα λόγια παρακινοῦντες, ἀκουέτωσαν αὐτῶν
οἱ τὴν ἔρωτος ἐπωνυμίαν διαβάλλοντες. »ἐράσθητι αὐτῆς, φησί, καὶ τηρή-
σει σε, περιχαράκωσον αὐτὴν καὶ ὑψώσει σε. τίμησον αὐτήν, ἵνα σε περι-
λάβῃ,« καὶ ὅσα ἄλλα κατὰ τὰς ἐρωτικὰς θεολογίας ὑμνεῖται. γράφει δὲ
καὶ ὁ θεῖος Ἰγνάτιος· »ὁ ἐμὸς ἔρως ἐσταύρωται«. καὶ ἕτερος· »ἐραστὴς
ἐγενόμην τοῦ κάλλους αὐτῆς«. ὥστε τοῦτο δὴ τὸ τοῦ ἔρωτος ὄνομα μὴ
φοβηθῶμεν. μηδέ τις ἡμᾶς θορυβείτω λόγος περὶ τούτου δεδιττόμενος.«
φησὶ δὲ καὶ ἕτερος· »ἐπέπεσεν ἡ ἀγάπησίς σου ἐπ' ἐμὲ ὡς ἡ ἀγάπησις
τῶν γυναικῶν«. »τοῖς γὰρ ὀρθῶς τῶν θείων ἀκροωμένοις, φησίν, ἐπὶ τῆς
αὐτῆς δυνάμεως τάττεται πρὸς τῶν ἱερέων θεολόγων τὸ τῆς ἀγάπης καὶ
τοῦ ἔρωτος ὄνομα«. καὶ αὖ· »ἔστι δὲ καὶ ἐκστατικὸς ὁ θεῖος ἔρως«.« καὶ
ἵνα μὴ πάντα ἐνταῦθα ἐκτιθέμενοι ἄπειρον τὸν λόγον ποιήσωμεν, τὸ κεφά-
λαιον ὅλον ἐκεῖνο μακρότατον ὂν καὶ πλῆρες τῶν περὶ ἔρωτος λόγων ὁ
U 109v βουλόμενος ἀναγνώτω. οἷς ἅπασι δείκνυται διαρρήδην μὴ δεῖν εὐθὺς ἀκού-
οντας ὀνόματος ἔρωτος ἐρωμένου τε καὶ ἐραστοῦ κλείειν τὰς ἀκοὰς ὡς
αἰσχίστῳ ὀνόματι καὶ αἴσχιστον σημαίνοντι πρᾶγμα. ἔστι γὰρ οὐχ ὑγιὴς
ἡ τοιαύτη γε κρίσις τῇ θείᾳ γραφῇ μάρτυρι καὶ τοῖς ἱεροῖς ἡμῶν διδασκάλοις.

4 Ὧν οὕτως ὑποκειμένων ἀκουστέον νῦν καὶ τοῦ Πλάτωνος, τίνα περὶ
τούτου δόξαν ἔχει καὶ εἰ συνῳδὰ λέγει κἂν τούτῳ τῇ θείᾳ γραφῇ. προ-
χειρησώμεθα δ' αὐτοῦ πρῶτον μὲν τὸν Φαῖδρον, εἶτα τὸ Συμπόσιον, οὓς
τῶν διαλόγων ὁ συκοφαντης οὗτος μάλιστα διαβάλλει καὶ ὡς ἀκολάστους
ἀποκρίνει μηδὲν ὅλως εἰδὼς μηδὲ συνιεὶς τῶν ἐκεῖ λεγομένων, εἴ γε πάσῃ
B 76 τῇ διανοίᾳ καὶ μὴ ἑκοντὶ συκοφαντῶν αὐτοὺς διαβάλλει πάσης φιλοσοφίας
τε καὶ θεολογίας καὶ νοημάτων ὑψηλοτάτων πλήρεις ὄντας. ἐν τοίνυν τῷ
Φαίδρῳ Λυσίου τοῦ ῥήτορος περὶ τοῦ αἰσχροῦ ἔρωτος λόγον συγγεγραμ-
V 172 μένον ἀνεγνωσμένον οὐκ ἀποδέχεται Πλάτων εἴτε καὶ Σωκράτης, ἀλλὰ
καὶ ἐκ τοῦ ἐναντίου ψόγον τοῦ τοιούτου γε ἔρωτος μακρὸν ἀποτείνει, Ἡρά-
κλεις, οἵᾳ σωφροσύνῃ, οἵᾳ ψυχῆς καθαρότητι, οἵᾳ λόγων εὐροίᾳ τε καὶ
ἐνθουσιασμῷ αἴσχιστόν τε αὐτὸν καὶ ἐρῶντι καὶ ἐρωμένῳ δεικνὺς καὶ με-
γάλης ἀμφοῖν αἴτιον βλάβης. καὶ βουλόμενος αὐτὸν ὁρίσασθαι, ἄκουσον
οἷς ἄρχεται λόγοις θειοτάτοις καὶ σοφωτάτοις. ἀνάγκη γὰρ τούτων μηδαμῇ
ἐν βίβλῳ ὄντων παρὰ Λατίνοις, ἅτε μηδ' ἡρμηνευμένων αὐτοῖς, ὅθεν ἂν
αὐτὰ σαφέστερον γνοῖεν, μακρότερα ἐνταῦθα ἐκθεῖναι τεμμάχια. »δεῖ, φησίν,
U 110 ἐννοῆσαι, ὅτι ἡμῶν ἐν ἑκάστῳ δύο τινὲ ἐστον ἰδέα, ἄρχοντε καὶ ἄγοντε,
οἷν ἑπόμεθα, ᾗ ἂν ἄγοιντο. ἡ μὲν ἔμφυτος οὖσα ἐπιθυμία ἡδονῶν, ἄλλη
δὲ ἐπίκτητος δόξα, ἐφιεμένη τοῦ ἀρίστου. τούτω δὲ ἐν ἡμῖν τοτὲ μὲν
ὁμονοεῖτον, ἔστι δὲ ὅτε στασιάζετον· καὶ τοτὲ μὲν ἡ ἑτέρα, ἄλλοτε δὲ ἡ
ἑτέρα κρατεῖ. δόξης μὲν οὖν ἐπὶ τὸ ἄριστον λόγῳ ἀγούσης καὶ κρατούσης
τῷ κράτει σωφροσύνη ὄνομα· ἐπιθυμίας δὲ ἀλόγως ἑλκούσης ἐπὶ ἡδονὰς
καὶ ἀρξάσης ἐν ἡμῖν τῇ ἀρχῇ ὕβρις ἐπωνομάσθη. ὕβρις δὲ δὴ πολυώνυ-
μον· πολυμερὲς γὰρ καὶ πολυειδές. καὶ τούτων τῶν ἰδεῶν ἐκπρεπὴς ἣ ἂν
τύχοι γενομένη, τὴν ἑαυτῆς ὁμωνυμίαν ὀνομαζόμενον τὸν ἔχοντα παρέχεται,
οὔτε τινὰ καλὴν οὔτε ἐπαξίαν κεκλῆσθαι. περὶ μὲν γὰρ ἐδωδὴν κρατοῦσα

Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

tentia sermonis incolumis servetur. Usum enim verborum propterea dumtaxat necessarium esse, quia sensus nostri moveri aliter nequeant. Haec latius ab eo scribuntur et nomen amoris haud alienum esse a sacris litteris demonstratur. »Ne, inquit, haec de amore dicta a nobis putet quispiam aliquid in sacris litteris innovare, audiant, qui amoris aut amorum vocabula aspernantur. »Amato ardentius eam, et te servabit. Vallo eam munito, et te extollet. Honore eam prosequere, ut te amplectatur,« et reliqua, quae per divinos amores dicuntur. Divus etiam Ignatius ita scribit: »Meus amor crucifixus est«. Et alius: »Amator pulchritudinis eius factus sum«. Item alius: »Incidi in amores tuos perinde quasi in puellarum amores«. Ergo nomen hoc sive amoris sive amorum minime formidare debemus. Nihil est enim, quod nos ea causa turbare ac deterrere possit. Nam si recte verba sanctorum theologorum animadvertimus, nomen caritatis dilectionis et amorum pro eodem accipi videtur.« Sed ne, si plura afferam documenta, nimis in longum oratio nostra vagetur, caput illud Dionysii de amore legendum arbitror, si quis plura nosse voluerit. Mihi satis in praesentia sit, tum sanctorum auctoritate, tum sacrarum litterarum exemplo demonstrasse amorum nomen non semper vitio dari, sed fieri saepenumero, ut qui se amore teneri aut amoribus excitari aut ardere dicit, non continuo incontinentiae damnandus sit.

Sed iam quid Plato de eadem re senserit et an consentanea sacris 4
litteris locutus sit, videamus ac primo Phaedrum, deinde Convivium in medium proferamus, quos sermones obiurgator Platonis imprimis criminatur et libidinis arguit. In Phaedro igitur sive Plato sive Socrates apud Platonem loquens orationem, quam Lysias orator de amore turpi ediderat, non modo non probat, sed in eam acerrime invehitur et eiusmodi amorem insectatur, arguit, detestatur. O Iesu bone, qua animi integritate, qua vi verborum, qua copia dicendi perversum illum et sceleratum et nefarium affectum damnat, quam turpem, foedum, pernitiosum tam amanti quam amato esse ostenditur? Et quidem cum definire ipsum amorem vellet, audi, quibus verbis orsus est. »Ita statuendum est, inquit, duo quaedam genera esse in nobis, quae dominantur et regunt, quaeque nos sequimur, quocumque duxerint. Unum est innata in nobis voluptatum cupiditas, alterum adveniens opinio, affectatrix boni. Haec alias consentiunt inter se, alias dissentiunt, et modo hoc, modo illud superius est. Cum itaque opinio illa ad id, quod optimum est, ratione ducit et superat, tum huic potestati nomen est temperantia. Cum autem cupiditas temere trahit ad voluptates

34 ἐννοῆσαι *codd.* νοῆσαι *edit.* | 35 ἄγοιντο *codd.* ἄγητον *edit.* | 41 πολυμελὲς γὰρ καὶ πολυμερὲς *Burnet* | 42 κεκλῆσθαι *codd.* κεκτῆσθαι *edit.* | 42 ὁμωνυμίαν *codd.* ἐπωνυμίαν *edit.*

2 Prov. 4, 6 sq. | 5 Ign. Rom. 7, 2. | Sap. 8, 2. | 8 2. Reg. 1, 26. | 9 Dionys. Areop. De Div. Nom. IV. 12 *(Migne P. gr. 3, 709 C)* | 11 Dionys. Areop. De Div. Nom. IV. 13 *(Migne P. gr. 3, 712 A)* | 33 Plat. Phaedr. 237 d — 238 c.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ λόγου τε τοῦ ἀρίστου καὶ τῶν ἄλλων ἐπιθυμιῶν ἐπιθυμία γαστριμαρ-
γία τε καὶ τὸν ἔχοντα ταὐτὸ τοῦτο κεκλημένον παρέξεται. περὶ δ' αὖ
μέθην τυραννεύσασα, τὸν κεκτημένον ταύτῃ ἄγουσα, δῆλον οὗ τεύξεται
προσρήματος καὶ τἆλλα δὴ τὰ τούτων ἀδελφὰ καὶ ἀδελφῶν ἐπιθυμιῶν
ὀνόματα τῆς ἀεὶ δυναστευούσης ᾗ προσήκει καλεῖσθαι πρόδηλον. ἧς δ'
ἕνεκα πάντα τὰ πρόσθεν εἴρηται, σχεδὸν ἤδη φανερόν, λεχθὲν δὲ ἢ μὴ
λεχθὲν πᾶν πως σαφέστερον· ἡ γὰρ ἄνευ λόγου δόξης ἐπὶ τὸ ὀρθὸν ὁρμώσης
V172ᵛ κρατήσασα ἐπιθυμία πρὸς ἡδονὴν ἀχθεῖσα κάλλους, καὶ ὑπὸ αὐτῶν ἑαυτῆς
B 76ᵛ συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος ἐρρωμένως ῥωσθεῖσα νικήσασα
U 110ᵛ ἀγωγή, ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα, ἔρως ἐκλήθη.« τί τίς
ἂν τούτων θειότερον εἴποι; τί δὲ διδασκαλιώτερον ἢ τί τίς τῶν ἡμετέρων
διδασκάλων οἰκειότερόν τε καὶ ὁμοιότερον, οἳς κακίζουσι μὲν τὴν ἀκόλαστον
ἡδονήν, προτρέπουσι δ' ἡμᾶς εἰς πᾶσαν ἀρετήν τε καὶ σωφροσύνην; εἶθ'
ἑξῆς ἀπαριθμησάμενος, ὅση βλάβη τε καὶ αἶσχος ὑπὸ τοῦ ἀκολάστου ἔρωτος
καὶ τοῦ αἰσχροῦ ἐραστοῦ ἕπεται τῷ ἐρωμένῳ, καὶ κάκιστον καὶ βλαβερώ-
τατόν τε καὶ αἴσχιστον τὸν τοιοῦτον ἔρωτα ἀποδείξας καὶ τὸν τοιοῦτον
ἐραστὴν ἄπιστον, δύσκολον, φθονερόν, ἀηδῆ, βλαβερὸν πρὸς οὐσίαν, πρὸς
τὴν τοῦ σώματος ἕξιν, πρὸς τὴν τῆς ψυχῆς παίδευσιν, συμπεραίνει ἀσφα-
λιζόμενος Φαῖδρον, μὴ τοῖς αἰσχρῶς ἐρῶσι συναπαχθείη, λέγων »χρή, ὦ
παῖ, ξυννοεῖν καὶ εἰδέναι τὴν ἐραστοῦ φιλίαν, ὅτι οὐ μετ' εὐνοίας γίνεται,
ἀλλὰ σιτίου τρόπον, χάριν πλησμονῆς, καὶ ὡς λύκοι ἄρνας ἀγαπῶσιν, ὣς
παῖδα φιλοῦσιν ἐρασταί.«

5 Τολμησάτω οὖν εἴθ' οὗτος εἴθ' ὁστισοῦν ἕτερος ἔτι φλυαρεῖν, ὡς
Πλάτων Φαίδρου καλοῦ τε καὶ γενναίου νεανίσκου ἐρῶν καὶ τῆς ἐκείνου
ὥρας αἰσχρῶς ἐπιθυμῶν Σωκράτην εἰσάγει πείθοντα Φαῖδρον χαρίζεσθαι
τῷ ἐρῶντι, καὶ ὥστε τοῦτον πεῖσαι, διδάσκοντα εὐδαίμονος καὶ μακαρίας
ζωῆς τεύξεσθαι μόνους ἐκείνους τοὺς ἐρῶντας ἀλλήλων καὶ τῷ θείῳ ἔρωτι
συνημμένους ἀλλήλοις, τήν τε ἡδονήν, ᾗ ἐνταῦθα ἥδονται συνόντες ἀλλή-
λοις, οἷον ἀπαρχὴν εἶναι καὶ ἡγεμόνα τοῦ μειζόνων ἐν οὐρανοῖς ἡδονῶν τε
καὶ ἀγαλλιάσεως τυχεῖν. ταῦτα γὰρ αὐτοῖς ῥήμασι μήθ' ἑαυτὸν μήτε τὴν
ἀλήθειαν αἰσχυνόμενος ὁ ἐλεεινὸς οὗτος ληρεῖ ἀκρατῶς καταφερόμενος
U 111 τοῦ ἀνδρός. τὸν Φαῖδρόν φησι ἐρᾶσθαι ὑπὸ Πλάτωνος. ἀλλ' οὐ τοιοῦτον
ἐραστήν, ἄνθρωπε, παρεῖχεν ἑαυτὸν ὁ Πλάτων, οἷον Λυσίας καὶ ὅσοι αὐτῷ
V 173 ὅμοιοι τῷ αἰσχρῷ δουλεύοντες ἔρωτι, ὧν ὡς ἀγρίων θηρίων καὶ λύκων
αἱμοβόρων ἀπέχεσθαι πείθει τοὺς νέους, ἀλλ' οἷον τῷ ἐν θείῳ καὶ οὐρα-
νίῳ κατεχόμενον ἔρωτι ἀπὸ τῶν ἐνταῦθα καλῶν εἰς τὸ αὐτόκαλον ἐκεῖνο
καὶ οὐδὲν ἄλλο ἢ καλὸν καὶ τὸ τῷ ὄντι ὡραῖον ἀνάγεσθαι καὶ τῆς ἀλη-
θεστάτης ἐκείνης ἀγαλλιάσεως τῆς ἐν οὐρανοῖς καὶ ἡδονῆς ἀπολαύειν τῆς
θείας. ἣν οὐδὲν ἧττον Πλάτωνος καὶ οἱ θεσπέσιοι τῆς ἐκκλησίας διδάσκαλοι
τοῖς ἀρετὴν ἐπιτηδεύουσιν ἐν οὐρανοῖς ἀποκεῖσθαι διδάσκουσι. σὺ μέντοι
οὐ τὸν ἱερὸν ἐκεῖνον καὶ σεβάσμιον, ἀλλὰ τὸν βδελυρὸν τοῦτον καὶ αἴσχιστον
ὁρῶν ἔρωτα καὶ ἅμα εἰδὼς μὴ ἔχοντας τοὺς Λατίνους μεταγεγραμμένον
τοῦτό γε τὸ βιβλίον, ἐπὶ τὴν ἐκείνου ἀνάγνωσιν αὐτοὺς παραπέμπεις τοῦ

ΙΩΑΝΝΙΝΑ 2006

et principatum in nobis obtinet, contumelia vocatur. Quod genus, ut varium et multiplex est, ita in plures partes secatur, quae singulae pro sua cuiusque conditione nomen sibi consentaneum vindicant, et ut quaeque victrix exstiterit, sic hominem suo nomine appellari facit, haud certe honesto vel digno vel liberali. Cum enim in edendo rationem optimam ceterosque appetitus superarit, gula nuncupatur et homini ita affecto hinc vindicat nomen. Rursus cum per ebrietatem vicerit eo ducens hominem, quonam appellari nomine debeat, apertum est, et reliqua his germana et germanarum cupiditatum nomina, ut quaeque vicerit, manifestum est, quo nomine sint vocanda. Sed quorsum haec. Etsi iam fere constat, omnia tamen clariora solent esse, cum dicta sunt, quam cum non dicta. Cupiditas igitur, quae sine ratione superat opinionem ad recta tendentem rapitque ad voluptatem formae, postquam a germanis, quae sub ea sunt circa corporis formam, cupiditatibus confirmata victrix evadit et hominem ducit ab ipsa insolentia, quod res insolita et absque more sit, amor appellatur.« Tum paulo post, quanta ignominia, quantum dedecus, quantum incommodum ex amore vitioso et turpi amatore redundet, Plato exponit et tum amorem huiusmodi foedum atque taeterrimum, tum talem amatorem perfidum, molestum, pernitiosum, labem humani generis et fortunarum excidium esse ostendit. Postremo: »Animadvertere, inquit, adolescentule, et certo scire oportet animum hominis te amantis haud tibi benevolum esse, sed perinde ut in ciborum desiderio satietatis causa incendi et, quem ad modum a lupis agnos, sic ab amatoribus pueros amari.« Ita Plato, quid amor turpis et qualis sit, explicat, ut nihil dici melius possit, nihil eruditius, nihil doctorum nostrorum sententiae convenientius, qui libidinem et omnem vitiosum amorem reprehendunt, modestiam, continentiam et temperantiam commendant et praedicant.

Quae cum ita sint, quis iure Platoni succensere aut detrahere possit 5
et amoris turpitudinem ei obiicere? Atqui reclamabit adversarius, Phaedrum a Platone amari fateor. Sed non talem se amatorem exhibet Plato, qualis erat Lysias et ceteri, quos detestatur, cavereque ab his quasi a peste quadam atque pernicie hortatur et consulit, verum talem, qui honesto sanctoque amore devinctus ducem sibi statueret formae, quam cerneret, elegantiam ad summam illam inauditamque voluptatem caelestem, quam non minus ipse, quam quivis nostrum sanctissimus auctor futuram hominibus, qui virtutem colerent, opinabatur. Sed obiurgator noster turpe illud et sceleratum, non pium hoc, sincerum et felix amoris genus respiciens

8 μέθην] μέθας *edit.* | 6 σχεδὸν μὲν *edit.* | 8 αὐτῶν] αὖ τῶν *edit.* | 10 ἀγωγὴ *codd.* ἀγωγῇ *Burnet* | 18/21 ἀσφαλιζόμενος — πλησμονῆς. καὶ $U^x$ *in marg.* B V M Z *in textu* | 28 εἶθ' οὗτος B V M] $U^x$ *corr. ex* εἴτε Γεώργιος | ἕτερος B V M] $U^x$ *suprascripsit* | 31 οὗτος] U *add.* B V M *om.* ἢ μιαρὸς εἰπεῖν οἰκειότερον | 32 42 τὸν Φαῖδρον — καὶ ἅμα U *om.* $B^v$ *in marg.* V M Z *in textu, quo loco* U B εἶναι | 48 παραπέμπεις V παραπέμπει U B M

19 Plat. Phaedr. 241 c.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γε μὴ ὄντος μηδ' ὑφεστῶτός γε παρ' αὐτοῖς, »ὢ τοῦ βδελύγματος«, βοῶν,
»ἀνάγνωτε, ἀνάγνωτε Φαῖδρον, παρακελευόμενός τε καὶ ἐπικελεύων, ἀνάγνωτε
οἱ μὴ πιστεύοντες ἢ παρὰ τῶν ἀναγνόντων ζητεῖτε, μόνον ἂν μὴ ὦσι τοῦ
B 77 Πλάτωνος ἐπαινέται. τοῖς γὰρ ὑβρισταῖς τε καὶ μανίᾳ κατεχομένοις καὶ
Ἐριννύσιν ἐλαυνομένοις δηλαδὴ ⟨οὐ⟩ πιστευτέον.« ἀνάγνωτε, ἀνάγνωτε βοᾷς
Φαῖδρον. ποῖον Φαῖδρον ἀναγνῶναι βούλοι Λατίνους; τίνα μοι Φαῖδρον προ-
φέρεις, οὐχ ὁρῶ. οὐδὲν γὰρ ἐν αὐτῷ ὑπὸ Πλάτωνος εἴτε Σωκράτους εἰρη-
μένον ἐστίν, ὃ μὴ πάσης ἀρετῆς παράδειγμα, μὴ πάσης μεστόν ἐστιν ἐγκρα-
τείας. ὃν εἰ ἐπιμελέστερον καὶ αὐτὸς ἀνέγνως καὶ μὴ ἑκὼν ἢ ἄκων ἠπάτας
σαυτόν, ἔγνως ἄν τι τῶν ἐν αὐτῷ νῦν ὑφ' ἡμῶν εἰρημένων ἐνεῖναι, καὶ
ἐθαύμαζες ἂν αὐτὸν ὑπ' αὐτῆς νενικημένος τῆς ἀληθείας ὡς ἄριστα περὶ
τοῦ σεμνοῦ καὶ ἱεροῦ διδάσκοντα ἔρωτος.

e Ἀλλ' ἀνάγνωτε Φαῖδρον, ἄνδρες Λατῖνοι, ἀνάγνωτε πρὸς θεοῦ. κωλύω
γὰρ οὐδέν. μᾶλλον δὲ καὶ συμβαλλοίμην ἂν ὑμῖν πρὸς τοῦτο τὰ δυνατά,
ἐκεῖνα ὑμῖν εἰς τὴν ὑμετέραν μεταφέρων φωνήν, ὡς ἂν ῥᾷον τὰς τούτου
συκοφαντίας δυνηθείητε διαγνῶναι. ἃ γὰρ ἡμεῖς διὰ βραχέων προέφημεν
V 173ᵛ καὶ ἔτι πολλῷ πλείω τούτων καὶ ἅμα ὠφελιμώτερα εὑρήσετε ἐν αὐτῷ
πρὸς ἣν ἡμεῖς εἰρήκαμεν ἔννοιαν φέροντα. ἀνάγνωτε τοίνυν. ἢ εἰ τῶν
ἀναγνόντων μᾶλλον ἀκοῦσαι θελήσαιτε, τῶν καὶ γνόντων, ἅπερ ἀνέγνων,
τὴν κρίσιν δοκιμάσατε, οὐ τῶν μηδὲν συνιέντων, ὡς ὁ κατήγορος βούλεται.
»παρὰ γὰρ τῶν ἀναγνόντων ζητεῖτε, φησίν, μόνον ἂν μὴ ὦσι τῶν Πλάτωνος
ἐπαινέται,« ὥσπερ ἂν εἴ τις ἦν ὁ συνιεὶς μὲν Πλάτωνος μὴ σφόδρα καὶ
θαυμάζων αὐτόν, ἢ εἴ τις ἂν δύναιτο λέγεσθαι ἢ εἶναι σοφὸς ἀληθὴς
Πλάτωνα ἀγνοῶν, ἢ μὴ σφόδρα ἀμαθὴς καὶ ἀνόητος ὁ οὕτω Πλάτωνι λοιδο-
ρούμενος. διὰ τί δὲ καὶ οὐ προτίθησιν ὑμῖν αὐτὰ ἐκεῖνα εἰς μέσον, ἃ ψέγει
τοσοῦτον, ὥσπερ ποιοῦμεν ἡμεῖς, ἅπερ θαυμάζομεν, ταῦτα ὑμῖν δῆλα ποι-
οῦντες; ἢ δι' ὅτι οὐκ ὀρθῇ κρίσει, ἀλλ' ἀλόγῳ πάθει κινούμενος λέγει ἃ
λέγει; ἀλλ' ἀπαξιοῦν αὐτὸς φαίη ἂν τοὺς τοιούτους τῶν λόγων ἢ ἀνα-
γινώσκειν ἢ γράφειν ἢ ὅλως μνήμῃ παραδιδόναι. πῶς οὖν οὐ καὶ τοῦτο
ἀπεικότως ποιεῖ, ἃ αὐτὸς οὐδ' ἀκούειν ἀνέχεται, ἐπὶ τὴν τούτων ἀνάγνωσιν
ὑμᾶς παραπέμπων καὶ ἀνάγνωτε, ἀνάγνωτε λέγων; ὡς δηλαδὴ αὐτὸς ὑμῶν
βελτίων τε καὶ ἐγκρατέστερος ὤν, ἄνδρες ἄριστοι, οὓς ἀναγινώσκειν προ-
τρέπει, ὧν αὐτὸς ὡς ἀσελγῶς εἰρημένων οὐδ' ἀκούειν ἀνέχεται. ἀλλ' εἰ
μιαρά τε καὶ βδελυρά, ὥς φησι, τὰ Πλάτωνός εἰσι ῥήματα, ἔδει τοῦτ' αὐτὸ
δεῖξαι τἀκείνου εἰς μέσον προενεγκόντα, ἵνα μὴ δόξῃ συκοφαντεῖν καὶ τοιού-
του ἀνδρὸς ἐρήμην οὕτως ἀσελγῶς καταψηφίζεσθαι, ὃν ἵνα τοὺς ἄλλους
παρῶ, Αὐγουστῖνος καὶ Ἱερώνυμος, ἄνδρες σοφοί τε ἅμα καὶ ἱεροί, θαυμά-
ζουσί τε καὶ στέφουσι μυρίοις ἐπαίνοις. ἀλλὰ δῆλον, ὡς διὰ τὸ σαφῶς
εἰδέναι καθ' ἑαυτοῦ προαγαγὼν ἄν, ἃ προενεγκεῖν ἂν εἶχεν, τοῦτο μὲν
παρίησι, Λατίνους δ' ἐπὶ τὴν Φαίδρου παραπέμπει ἀνάγνωσιν. οἵτινες εἰ
μὲν οὐκ ἴσασι τὴν Ἑλλήνων φωνήν, πῶς ἂν ἀναγνῷεν; εἰ δ' ἴσασι, διὰ τί
V 174 μὴ μάρτυρας αὐτοὺς παράγει, ἀλλ' ἀναγνῶναι προτρέπει; ἐκεῖνο γὰρ πε-
παιδευμένου, ἐκεῖνο ἀγαθοῦ ἀνδρὸς ἴδιον, οὐ τοῦτο. οὐδενὸς γὰρ δὴ κατὰ-

Ε.Υ.Ζήσης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006